Scholia and Glosses on Oppian's Halieutica: Book 4 by Scholia on Oppian

4 *ΕΙΣ ΤΟ Δ.*

Περὶ σκάρων. Περὶ ἱππούρων. Περὶ κεφάλων. Περὶ πομπίλων. Περὶ σηπιῶν. Περὶ τευθίδων. Περὶ κοσσύφων. Περὶ ἀφυῶν. Περὶ κίχλας. Περὶ ἐγγραύλων. Περὶ γαλεῶν. Περὶ πηλαμύδων. Περὶ πολυπόδων. Περὶ σκιαίνης. Περὶ σαργῶν.

4.1 Ἄλλους δ'· ἰχθύας, τῶν ἰχθύων. ἀγρευτῆρσιν· τοῖς ἁλιεῦσιν. ληΐδα· αἰχμαλωσίαν, ἄγραν.

4.2 Ἔρως· Θεόφραστός φησιν· ἔρως ἐστὶν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολὴ, ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

4.3 Ἠντίασαν· ἐπέτυχον, ἔλαβον. φιλοτήσιον· ἐπιθυμητήν. ἄτην· εἰς.

4.4 Πολιούχων· τῶν τὰς πόλεις ἐχόντων.

4.5 Αὐτός τ'· σύ. υἱέος ἠγάθεον κῆρ· Γορδιανέ. ἠγάθεον· ἅγαν θεῖον.

4.6 Πρόφρονες· πρόθυμοι, μετὰ προθυμίας. εἰσαΐοιτε· ἀκούοιτέ μου. γάνυσθαι· εὐφραίνεσθαι. γάνυσθε· χαίροντες.

4.7 Ἠπιόδωροι· πρᾳότατοι, μεγαλόδωροι.

4.8 Κοσμήσαντο· ἐκόσμησαν. ἐξέστεψαν· ἐστεφάνωσαν. ᾠδαῖς· ποιήσεσι.

4.9 Θεσπεσίῳ· θείῳ. πόρον· παρέσχον.

4.10 Κίρνασθαι· κεράσαι, βαλεῖν, ἐμβαλεῖν. οὔασιν· ὠτίοις. πραπίδεσσι· πραπὶς ἡ φρόνησις ἀπὸ τοῦ τὰ πρέποντα διανοεῖν· εὐφραίνει γὰρ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα.

4.11 Σχέτλι'· κακοποιὲ, κρατητικέ· προσαναφωνητικὸν, ἀποστροφὴ καταφορικὴ, ὡραῖον. θεῶν· ἀπὸ, θεωριῶν.

4.12 Εἰσιδέειν· θεασθῆναι, θεάσασθαι. ἄλγιστε· λυπηρέ. ὀροθύνεις· διεγείρεις.

4.13 Ἐμπίπτων· ἐπερχόμενος. ἀδόκητος· ἀπροσδόκητος.

4.14 Μίσγεαι· εἰσέρχῃ. ἀσθμαίνεις· ἀναπνέεις, πνέεις. ὁμοκλήν· ἀπειλὴν, ὀργήν.

4.15 Παφλάζων· ταρασσόμενος. ἀκρήτοισι· ἀπληρώτοις, πολλαῖς.

4.16 Δάκρυ δέ σοι· θλίψις ὑπάρχει σου. προβαλεῖν· τὸ ἐκβαλεῖν, εἰπεῖν, ἐκκενῶσαι. λαρὸν γάνος· ἐπιθυμητὸν γλύκασμα, ἥδυσμα.

4.17 Βυσσόθεν· ἀπὸ τοῦ βάθους, ἐκ βάθους τῆς καρδίας. οἰμωγήν· στεναγμὸν, φέρει σπλάγχνοις· ἐν, σπλάγχνων. ἔρευθος· τὴν χροιὰν, ὡς πῦρ ἐν τοῖς σπλάγχνοις βαλεῖν.

4.18 Φοινίξαι· βαλεῖν, βάψαι. παράτροπον· παρηλλαγμένον, ἐξηλλαγμένον· ὠχριῶσιν οἱ ἐρῶντες παρατρεπόμενοι. ἀμέρσαι· ποιῆσαι, ἀφανίσαι.

4.19 Κοιλῆναι· κοιλᾶναι. ἀεῖραι· παρατρέψαι.

4.20 Μαινομένην· ἐρῶσαν. ἐξεκύλισας· ἐξέφυγες.

4.21 Ἀντεβόλησας· ἐξ ἐναντίας ἦλθες, ἔπνευσας.

4.23 Ἐν μακάρεσσι· τῶν μακάρων. γενέθλῃ· γενεᾷ.

4.24 Ἀμειδέος· ἀγελάστου διὰ τὸ σκότος, σκοτεινοῦ. πυρσῷ· πυρὶ, ὥσπερ ἐκ τοῦ.

4.25 Λαμπόμενος· λάμπων. ἐξεύραο· ἐφεῦρες. ἐζεύξαο· ἐτύπωσας.

4.26 Ἀρότροις· τῇ συνουσίᾳ. ἐπεθήκαο· ἔθηκας. τέκμωρ· τέλος, ὑπονόημα.

4.27 Πτερύγεσσιν· ἐν. ἀειρόμενον· πετώμενον.

4.28 Πάφου· Κύπρου, πόλις τις τῆς Κύπρου, ἐξ οὗ καὶ Παφία ἡ Ἀφροδίτη. μεδέουσα· βασιλεύουσα. πολυφράδμων· πολύβουλος.

4.29 Εὐμενέοις· εὐμενὴς γένοιο. ἱκάνοις· καταλάβοις, καταλαμβάνοις.

4.30 Μέτρον· συμμετρίαν ἀντὶ τοῦ σύμμετρος ἡμῖν γινόμενος. ἀναίνεται· ἐκφεύγῃ.

4.32 Πεφρίκασι· φοβοῦνται. ὁ δ’ ὄλβιος· ἐκεῖνος εὐτυχής.

4.33 Εὐκραῆ· σύμμετρον. κομέει· γράφεται φορέει. στέρνοισι· ψυχῇ, καρδίᾳ.

4.34 Οὐρανίης γενεῆς· τῶν θεῶν. ἅλις· αὐτάρκεια.

4.35 Ἀναίνεαι· ἀπαρέσχεσαι ὅσα· πετεινά.

4.36 Ἀτρυγετή· ὁ πολὺς, ἀκαταπόνητος. νεάτοις· ἐσχάτοις. κεύθεσι· βάθεσιν.

4.37 Κελαινούς· ἀθλίους.

4.38 Ἀτράκτους· μοίρας, βέλη, ἀπὸ μέρους· ἄτρακτον γὰρ τὸ ξύλον τοῦ ὀϊστοῦ. τι· πρᾶγμα.

4.39 Λίπηται· καταλειφθῇ. ὑπόβρυχα· ὑπὸ τὸ βάθος.

4.40 Οἴην· ποταπήν. μετ’ ἀλλήλοισιν· ἐν ἀλλήλοις. τίθενται· φυλάσσουσιν· γράφεται φύονται.

4.41 Ὀξυβελῆ· μέγαν, ὀξέως βάλλοντα. στικτοί· ποικίλοι. μόχθοις· κόποις, ἀνάγκαις.

4.42 Λείπουσι· καταλιμπάνουσιν. ἀλεξητῆρι βοηθητικῷ, βοηθῷ.

4.43 Δαφοινοῦ· τοῦ διακοπτικοῦ καὶ φονικοῦ.

4.45 Ἀπέκερσε· ἀπέκοπτεν. ἐξεσάωσε· ἔσωσεν.

4.46 Ἠμάλδυνε· ἠφάνισεν. ἀκάχησεν· ἐλύπησεν.

4.47 Παλιμπλακέεσσιν· εἰς τοὐπίσω πεπλεγμένοις, κατ’ ἀνάκλασιν πεπλεγμένοις. ἁλόντα· κρατηθέντα.

4.48 Ὑπεξέκλεψε· κρυφίως ἦλθεν. ἐξείρυσεν· διέσωσεν.

4.50 Ἐπεφράσθη· ἐπέγνω.

4.52 Ἀμείβων· διερχόμενος.

4.53 Ταναηκέας· ἐξηπλωμένας.

4.54 Ἀμφιπεριφρίσσουσι· ἵστανται, ὀρθῶνται, πεπυκνῶνται, ἐξέχουσιν. οὐτάζουσιν· τιτρώσκουσιν. ὀπωπάς· ὀφθαλμοὺς, ὄψεις.

4.56 Ἀμήχανα· μάταια, ἀνενέργητα.

4.57 Ἀντιόωσιν· συναντῶσιν. λίποντο· κατελείποντο

4.58 Ὤρεξε· ἔδωκεν. διασχών· ἐμβαλών. ἀνασχών· ἐνδιδοὺς, ἐμβάς.

4.60 Δάξ· δακτικῶς, ἐν τοῖς ὀδοῦσιν. ἔρεισεν· ἔσφιξεν, τοὺς ὀδόντας.

4.61 Ἡγήτειραν· ὁδοποιὸν, προοδοποιοῦσαν.

4.62 Ἐόντος. τοῦ.

4.63 Θύραζε· ἐκτός.

4.64 Ἑσπόμενον· ἀκολουθοῦντα. ἄλυξαν· ἐξέφυγον.

4.65 Παιπαλόεσσαν· τραχεῖαν. ἀναστείχωσι· διέρχονται, ἀνέρχονται. κολώνην· ἐξοχήν· ὄρος, ἀκρώρειαν.

4.66 Ὑπὸ σκιερῆς νυκτὸς κνέφας· ἢ κατὰ τὴν νύκτα. σκιερῆς· σκοτεινῆς. κνέφας· σκότος. μήνη· ἡ σελήνη.

4.67 Κελαινιόωσι· μελαίνουσι, μελαίνονται· καλύπτραι· σκέπαι.

4.68 Ὄρφνῃ· σκότει, νυκτὶ παρὰ τὸ φένειν, τουτέστι φονεύειν τὴν ὅρασιν. ἀτρίπτοισι· ἀβάτοις.

4.69 Χεῖρας δέ· ἑαυτῶν τὰς χεῖρας κρατοῦντες. ἔχουσιν· ἔχοντες.

4.70 Ἐπίκουρον ἀμοιβήν· βοηθὸν διαδοχήν.

4.71 Ἀμοιβαίῃ φιλότητι· τῇ ἐκ διαδοχῆς ἀγάπῃ, τῇ ἐκ διαδοχῆς φιλίᾳ, ἀμοιβὴν ἔχοντες τῶν πόνων ἐπίκουρον.

4.72 Ἀλκτῆρες· βοηθοί. γεγάασι· ἐγίνοντο. μήσατ'· ἐβουλεύσατο.

4.73 Ἀλγινόεντος· λυπηροῦ.

4.74 Βλαφθέντες· ἐμποδισθέντες. ἐπιφροσύναις· φρονήσεσιν.

4.75 Ἐμβεβάασι· εἰσέρχονται.

4.76 Ἐπηρέτμοισι· κωπηλατικαῖς.

4.77 Μέμβλονται· ἐν φροντίδι εἰσὶ, φροντίζονται. δολόφρονα μῆτιν· δόλον. ὑφαίνων· ποιῶν.

4.78 Ἀναψάμενος· δεσμήσας. ἀκροτάτοιο· διά.

4.79 Χείλεος· κατὰ τὴν ἐπιφάνειαν.

4.80 Κέρδιστον· ὑπάρχει. ἀνελκέμεν· σύρειν.

4.81 Μετά· εἰς. δέξατο· ἔλα, ἔβαλεν.

4.82 Ἐλήλαται· κρέμαται, ἐκκρέμαται.

4.83 Δινωτός· στρογγύλος, συστρεπτικός. κύβος· σφαῖρα. ἄμματος· σχοινίου, διά.

4.86 Βαθὺν δόλον· ἢ τὸν κύρτον.

4.87 Ἴενται· πορεύονται.

4.88 Κραιπνόν· ταχέως. βαλιοί· κατάστικτοι, στικτοί· κατάστικτοι. ἐρύσωνται· λάβοι, ῥύσωνται, ἐξαΐσσωσι, λυτρώσουσιν.

4.89 Περιπροθέουσιν· κυκλοῦσι, περικυκλοῦνται. ἀπάτην· γράφεται ἁπάντη.

4.90 Οἴστρῳ· ἔρωτι. βεβιημένοι· βιαζόμενοι.

4.91 Κατασπέρχουσιν· σπουδάζουσιν.

4.92 Ἐσσυμένως· ὁρμητικῶς, προθύμως. τάχα· ἴσως. πανύστατος· ἔσχατος. ἔπλετ’· ἦως ὑπάρξει· γράφεται ἔσσεται.

4.96 Ἐμβαρύθων· βαρῶν.

4.97 Ὡς ἴδον, ὡς ἐκέχυντο· λίαν ἐξεχύθησαν, λίαν εὐθὺς ἐχύθησαν. παραφθαδόν· συντόμως. ἔρκος· εἰς.

4.98 Ἐπειγομένοις· σπουδάζουσιν. λόχοισι· ἔρωσιν

4.99 Λύγων· βεργίων.

4.100 Ἀργαλέων· κακίστων. ἐπισπέρχουσι· καταλαμβάνουσιν, ἐπισπεύδουσιν. μύωπες· ἔρωτες.

4.101 Μεμελημένοι· εἴδησιν ἔχοντες, διὰ φροντίδος ἔχοντες· παραβολή.

4.102 Στάθμης· ἀγῶνος, ἀπὸ νύσσης. ἀπόσσυτοι· κεχωρισμένοι, ἀποκεχωρισμένοι.

4.103 Ἐγκονέουσιν· σπεύδουσιν.

4.104 Ἐξανῦσαι· ἐκπληρῶσαι.

4.105 Νίκης γλυκύδωρον ἐλεῖν κράτος· ἢ νικῆσαι. θύρετρα· τέλη.

4.106 Ἀΐξαι· ὁρμῆσαι. κράτος· νίκην. ἀέθλιον· τὸ τῆς νίκης. ἀμφιβαλέσθαι· περιλαβεῖν.

4.107 Ἡγεμονεύει· ἡγεμών ἐστιν.

4.108 Ἐσθορέειν· εἰσπηδῆσαι. κευθμῶνας· μυχούς. ἀνοστήτοιο· ἀνυποστρόφου.

4.109 Κύντατον· ὀλέθριον, ὀλεθρίως. ὕστατον· ἔσχατον, κακόν. ἑλόντες· γράφεται ἔχοντες.

4.110 Πιμπλᾶσιν· πληροῦσι, ποιοῦσιν. ἐφίμερον· ἐπιθυμητήν.

4.111 Κελαινοῦ· ἀθλιωτάτου.

4.112 Ὑπὸ σπιλάδεσσι· ὑπὸ ταῖς πέτραις αἷς χαίρουσιν.

4.113 Μέλει· ἔγκειται, πρόσκειται, οἰκεῖ. γλαγόεις· λευκός.

4.114 Αὔρῃ· πνοῇ· γράφεται ἄγρῃ. φιλοτησίᾳ· τῇ φιλίᾳ.

4.115 Ἀμφί· περί. λιχμάζουσι· περιλείχουσιν. ἐξερέουσιν· ἐρευνῶσιν, ἐξερευνῶσι, ψηλαφῶσιν.

4.116 Μαιόμενοι· ψηλαφῶντες. κατήλυσιν· εἴσοδον, εἰσέλευσιν. ἵκοντο· παρεγένοντο.

4.117 Εἰσίθμην· εἴσοδον, καταχρηστικῶς. ἀνέκβατον· ἀδιέκβατον.

4.118 Ἐς δ'· εἰς δὲ ταύτην.

4.119 Στυγερήν· μισητήν. πόθων· γράφεται πόνον.

4.120 Ὡς δέ· παραβολή,

4.121 Θάμνοισι· φυτοῖς. λασίοισι· πυκνοτάτοις, δασυτάτοις.

4.122 Ἠθάδα· συνήθη, συνηθεστάτη.

4.123 Λίγα· ὀξέως. ξουθόν· ἡδὺ, θελκτικόν.

4.125 Ἐνοπῇσι· φωναῖς, ἠχήσεσιν. παραπλαγχθέντες· πλανηθέντες. ἰωῆς· φωνῆς, κραυγῆς.

4.127 Ἐπιβάλλεται· ποιεῖ.

4.128 Παρήπαφεν· ἠπάτησεν.

4.129 Πέλοι· ὑπαρχέτω. λιπόωσα· παχυτάτη.

4.130 Ἀπείρονες· πολλοί.

4.131 Ἐκπάγλως· ἐκπληκτικῶς.

4.132 Ἴυγγες· δυνάμεις, τὰ φάρμακα, ἃ ποιοῦσιν οἱ ἐρῶντες θελκτήρια, Ἴυγγες αἱ γοητείαι καὶ ἐπῳδαὶ ἀπὸ τοῦ ὀρνέου τῆς κιγκλίδος καὶ ἴυγγος λεγομένου, ἤτοι σεισιπυγία, ἧς τὸ οὐραῖον πτερὸν καὶ τὸ περὶ τὸ στῆθος ὀστοῦν χρησιμεύουσι τοῖς ἐρῶσιν.

4.133 Θαλπομένους· ἡδυνομένους, εὐφραινομένους. ἀνάρσιον· μισητὸν, ἐχθρόν. ἡγεμονεύοις· ποιεῖς. ἡγεμονεύει· προοδοποιεῖ.

4.134 Ὑπεξερύων· ὑποσύρων καὶ ἕλκων.

4.136 Ἠΐθεοι· νέοι, ἀΐσσοντες ἐπὶ θέαν. περικαλλέος· εὐμόρφου.

4.137 Φρασσάμενοι· ἰδόντες. ἀποσταδόν· διακεχωρισμένως, ἀφεστηκότες. αὐγάζονται· θεωροῦσιν,

4.138 Ἀγαυόμενοι· θαυμάζοντες. πολυήρατον· πολυαγάπητον.

4.139 Ἐκ δ’ ἐλάθοντο· ἔλαθον τὰς ὁδοὺς ἑαυτῶν, ποίας ἀπέρχονται τοῦ οἴκου.

4.140 Πάροιθεν· ἔμπροσθεν· τὰ πάροιθεν δὲ τὰ πρὸ τούτου, ὅπου ἀπῄεσαν.

4.141 Θελγόμενοι· εὐφραινόμενοι. λιαρῇσιν· ἡδυτάταις, γλυκυτάταις. ῥιπῇς· νεύσεσι, ἐπινεύσεσιν, ὑπὸ ταῖς καυστικαῖς καὶ ἐπιθυμητικαῖς ὁρμαῖς τῆς ἀφροδίτης.

4.142 Οἰστρηδόν· ἐρωτικῶς, μανιωδῶς, μετ’ οἴστρου ἤγουν ἔρωτι κινούμενοι.

4.143 Εἱλομένων· σπαρασσομένων. ἀπεχθέες· μεμισημένοι.

4.144 Ἀμφίβληστρον· δίκτυον. εὐεργές· καλῶς εἰργασμένον. ἀείρας· ἐγείρας.

4.145 Ἐπιπροέηκε· ἔπεμψεν. ἄσπετον· πεπληθυσμένην.

4.146 Ἀψῖσι· ταῖς τοῦ ἀμφιβλήστρου, καλύπτραις ἢ καμάραις· ἐν τοῖς συνδέσμασι τῶν ὀπῶν περιεχόμενοι· περικαλύψας τὴν θήραν καὶ περίσχετον ταῖς ἀψῖσιν. περίσχετον· κρατητὸν, περιεχόμενον, κεκρατημένον. ἀμφικαλύψας· κρατήσας, λαβών.

4.147 Δυσέρωτες· χάριν τοῦ κακοῦ ἔρωτος. ἐπὶ πλέον· περισσότερον. ἔδραμεν· ἦλθεν.

4.149 Ἀμφιβολάς· περιβολὰς, σκεπάσματα. ἐφέηκαν· ἔπεμψαν.

4.150 Ἐρύουσιν· σύρουσιν. ἀναψάμενοι· δεσμήσαντες. οἴην· σηπίαν, μόνην. οἵην· μεγάλην.

4.151 Ἀπόπροθεν· μακρόθεν, ἐξ ἐναντίας.

4.152 Περιπλέγδην· περιπεπλεγμένας. ἐνέχονται· συνέχονται, σκιρτῶσιν.

4.153 Ἐμφύμεναι· κολλώμεναι, συμμιγόμεναι, περιπλεκόμεναι. σπείρῃσιν· πλοκάμοις.

4.154 Παρθενικαί· παρθένοι. δηναιόν· μετὰ χρόνον, μακροχρόνιον.

4.155 Ἀπήμονα· ὑγιῆ. νοστήσαντα· ὑποστραφέντα.

4.156 Νέον· νεωστί. εὐναίης· ζευκτικῆς.

4.157 Λησθεῖσα· λαφυραγωγηθεῖσα, συζευχθεῖσα.

4.158 Ἀμφέπλεξεν· περιέλαβε, περιέπλεξεν. πάννυχα· ὁλονύκτια.

4.159 Ἀργεννοῖς· λευκοτάτοις. κυρτώσασα· γυρώσασα. γυρώσασα· κυκλώσασα.

4.161 Μεθίεται· ἐνδίδοται, καταλείπεται. ἐξερύσωσιν· φυλάξωσιν, ἑλκύωσιν. ἐπὶ σκάφος· ἐπὶ τὴν νῆα.

4.163 Συμπεφύασι· συμμίγονται. ἔλοντο· προέκρινον.

4.164 Παρήπαφεν· ἠπάτησεν.

4.165 Σκιάσαντες· σκεπάσαντες. πτόρθοισι· κλάδοις. μυρίνης· μυρίκης.

4.167 Λάχνη· δασυτάτη.

4.168 Γενεῆς· τόκου.

4.169 Ἥμεναι· καθήμεναι.

4.170 Αὐτοῦ· ἐκεῖ. παύσαντο· τέλος ἔλαβον.

4.171 Πινυτοῖσιν· συνετοῖς.

4.173 Ἀεθλεύει· πάσχει, ἔχει. κίχλης· ἐπί. δαίεται· ἐκκαίεται.

4.174 Δαίμονι· θεῷ. θύων· ὁρμῶν, δουλεύων.

4.175 Σύννομος· συνήθης. δάμαρ· νύμφη. οἴη· μία.

4.176 Ἄλοχοι· σύζυγοι.

4.177 Κεκριμέναι· διακεχωρισμέναι. ἐφέστια· ἔνοικα, ἔποικα, κάτοικα, διὰ τὸ μὴ ἐκτὸς, ἀλλ᾽ ἔνδον τῶν σπηλαίων εἶναι.

4.178 Γλαφυροῖσι· βαθυτάτοις.

4.179 Ἀρτιγάμοισι· ταῖς ἤδη μέλλουσι γαμηθῆναι, ἢ νεογάμοις.

4.180 Οὔπω· οὐκέτι. ἴδοι· ἀττικῶς. πάροιθεν· ἐκτός.

4.181 Γαμήλιος· παρθενική. αἴθεται· ἐκκαίεται, αὔξεται, ἐκπυροῦται, ἔγκειται, ἐκ τοῦ γάμου σωφροσύνη ἔγκειται.

4.182 Ἐνδόμυχοι· ἔνδον μυχούμεναι, φυλαττόμεναι.

4.183 Δηθύνουσι· χρονίζουσι, καταμένουσιν. πόσις· ἀνήρ. ἀνώγει· κελεύει.

4.185 Λεχέων· ὁμοζύγων. ἄλλῃ· ἀλλαχόθεν.

4.186 Τέτραπται· τρέπεται. ἑλίσσεται· ἀναστρέφεται.

4.187 Παπταίνων· περισκοπῶν.

4.189 Δύσζηλος· κακόζηλος. ἀειφρούροισι· ἀειφυλάκτοις.

4.191 Τυτθόν· μικρόν· ἡ ἀνάπαυσις αὐτοῦ πρὸς τὴν φυλακὴν ὀλίγη ἐστίν. φυλακῆς· ὥρας. ἀζηχέος· ἐπιπόνου, ἀδιαλείπτου, διηνεκοῦς.

4.192 Τῆμος· τηνικαῦτα.

4.193 Ἀμφιπεριτρομέων· ἀγωνιῶν.

4.195 Ὠδίνων· χάριν πόνων. οἷον δέ· παραβολή. ἀλύει· ἔχει, ἀδημονεῖ.

4.196 Τηλυγέτοιο· μονογενοῦς, ὡραία. θοήν· διὰ ὀξεῖαν, ταχεῖαν.

4.197 Πρωτοτόκου· πρωτολόχου. φρίσσουσα· φοβουμένη.

4.198 Αὐτήν· τὴν μητέρα. χέρειον· χειρότερον. εἰλειθυίης· τῆς γεννήσεως, γέννας.

4.200 Μετήορον· ἐκκρεμὲς, ἐκκρεμάμενον, περιπετασμένον· μετέωρα τὰ ἐν οὐρανῷ καὶ αἰθέρι μετάρσια, τὰ μεταξὺ αἰθέρος καὶ γῆς ἐν ἀέρι συνιστάμενα.

4.201 Λυσιπόνοιο· λυούσης τὸν πόνον. βοῆς· φωνῆς.

4.202 Ἀλόχοις· κοίταις.

4.203 Λεχέων· κοιτῶν. ἐντύνεσθαι· ποιεῖν, φυλάσσειν.

4.204 Ἀσσυρίους· Βαβυλωνίους. τίγριν· Τιγρικόν· Τίγρης ποταμὸς ι καὶ η, καὶ κλίνεται Τίγρητος, τίγρις δὲ τὸ ζῶον ι τὰ δύο, καὶ κλίνεται τίγριδος.

4.205 Ἐνναετῆρες· κάτοικοι. ἐκηβόλον· πόρρωθεν βάλλων.

4.207 Μεθέπουσι· συνέρχονται, μετέρχονται ἐξ ἀμοιβῆς, ἐπακολουθοῦσιν, εἰσὶν, ὑπάρχουσιν. εὐνάζονται· συγκοιμῶνται.

4.208 Νύκτας· γράφεται κοίτας. ἀμειβόμεναι· ἀλλάσσουσαι, μετέρχουσαι· ἐξ ἀμοιβῆς γὰρ ἄλλοτε ἄλλῃ συγκοιμῶνται. μέτρον· γράφεται κέντρον· ζῆλος.

4.209 Περί· ἕνεκα. ὀλέκονται· ἀπόλλυνται.

4.210 Ἄρηα· σίδηρον, πόλεμον.

4.211 Ὡς οὐδέν· θαυμαστικῶς, γνώμη.

4.213 Ἀναιδέος· ἀναισχύντου.

4.214 Λύσσης· μανίας. ἐπιμίσγεται· ὁ ζῆλος.

4.215 Ἐξεχόρευσε· ἐχώρησεν, ἦλθεν, ἐξεσκίρτησεν, ἐσκίρτησεν, ἐνέβαλεν· γράφεται ἐξεκύλισεν· οἱ· τῷ ζήλῳ.

4.217 Ἥντησεν· ἔτυχεν. ἀμοιβῆς· χάριν.

4.218 Ἐπιδινεύοντα· συστρεφόμενον, ἀδημονοῦντα ἢ ἀναστρεφόμενον.

4.219 Ἀλόχου· συζύγου.

4.222 Μολίβου· καθέτου. κύβος· τροχὸς, σφαῖρα, ἢ καθετής.

4.223 Πρὸς πέτραις· πλησίον τῶν πετρῶν. ἀφέηκε· ἔπεμψε, κατέβαλε, κατέρριψεν. ἐγγύθι δ’ αὐτῶν· γράφεται μικρὸν τὸ αὐτὸν, ἤως αὐτὸν τὸν δόλον.

4.224 Ἐσέδρακεν· ἐδράξατο. ὀρινθείς· ὁρμισθείς.

4.225 Ὥρμήθη· ἐπήδησεν.

4.226 Ἀνάρσιον· ἐχθρὸν, πολέμιον. ἀλόχοισιν· ὁμοκοίτοις.

4.227 Ἐπιθύσας· ζηλοτυπήσας, ὁρμήσας, δειλιάσας.

4.228 Τίνυσθαι· τιμωρεῖσθαι, τιμωρῆσαι, κωλύειν, τιμωρεῖν. ἐπήλυσιν· ἐπέλευσιν.

4.229 Ἀμφιχανών· καταπιών. δοκεύσας· ἐπιτηρήσας, ἐξ ἐναντίας ἐλθὼν, ἢ καὶ ἰδών.

4.230 Συνέπειρεν· ἐσούβλισεν. ἀνακρούων· ἀνασείων. γενύεσσι· στόμασιν.

4.231 Ἀσχαλόωντα· λυπούμενον. ἀσπαίροντα· ψυχορραγοῦντα.

4.232 Ἐνίπαπε· ἐνέπληξεν, ἐκακολόγησεν, ἐπέπληξεν. κερτομίῃσιν· ὀνειδισμοῖς.

4.233 Νῦν δὴ νῦν· γράφεται ἤδη νῦν. ἠθοποιία, αἱμωπεῖαι πρὸς τὸν κόσσυφον ἐκ τοῦ ἁλιέως. περιφρούρειε· περίβλεπε.

4.235 Κύπρις· γυνή. ἐφήνδανεν· ἤρεσκεν, ἤρκει· ἐφήνδανε γίνεται ἀπὸ τοῦ ἥδω τὸ εὐφραίνομαι, ὅθεν καὶ δασύνεται.

4.236 Ἀγάλλεο· ἠγάλλου, ἔχαιρες.

4.237 Ἴθι· ἐλθέ. τοί· σοι.

4.238 Χρυσέοιο· γράφεται χερσαίοιο πυρὸς λευκάμπυγος αὐγή· ἢ τὸ πῦρ.

4.239 Νείκεσε· κατειρωνεύσατο. ἀΐοντι· αἰσθανομένῳ. καίοντι· αἰθαλομένῳ. πιφαύσκων· λέγων. οὐκ ἀΐοντι πιφαύσκων· καὶ ἀκούοντι μὴ διαλεγομένῳ.

4.240 Πόσις· ἀνήρ. ἰοῦσαι· πορευθεῖσαι.

4.242 Μέν· μήν. ἐπαρωγῇ· βοηθείᾳ.

4.244 Κεντροφόρων· κέντρα ἐχόντων, τῶν κεντρίνων λέγει.

4.245 Κιών· παραγενόμενος. ἀϊδνής· σκοτεινὸς, μέλας, ἀφανής.

4.246 Βυθίοις· βυθοῖς. ὑφίζεται· κάθηται, ὑπόκειται. ὀργυίῃσι· χερσίν.

4.248 Μιν· γράφεται μέν.

4.250 Ἵκωνται· πορεύωνται.

4.251 Περιηγέι· τῷ περιφερεῖ.

4.252 Καταΐγδην· ὁρμητικῶς, συντόμως, στυφελίζων· κόπτων, τύπτων, ἀνακρούων, ἀναπείρων.

4.253 Τριγλώχισι· τριαίναις.

4.254 Ἀπότροποι· ὀπίσω, εἰς τοὐπίσω.

4.255 Λεύσσωσιν· ἐνεστὼς χρόνος.

4.256 Ἀρτιφάτου· νεωστὶ ἐφονευμένου. νέκυν· νέκυν παιδὸς, τουτέστιν ἐκεῖνον αὐτόν.

4.257 Ἀμφίκλαυστον· περικλαιόμενον.

4.258 Τηλύγετον· γνήσιον. περιμοχθήσωσι· κακοπαθήσωσιν.

4.259 Δρυπτόμενοι· σπαραττόμενοι.

4.260 Ἠρίῳ· μνημείῳ, τάφῳ. ἐμπεφύασι· κεκόλληνται.

4.261 Ξυνῇ· κοινῶς, ὁμοῦ. θανεῖν· θέλουσιν.

4.263 Αὐτόν· τὸν ὅμοιον.

4.264 Ἐνδήμιος· συνήθης, ἐκ τοῦ δήμου.

4.266 Ἔξαλον· ξένον τῆς ἁλός. ἀλλοδαπῆς· ξένης.

4.268 Ἀθηναίης ἔρνεα· τῆς Ἀθηνᾶς λέγεται τὸ φυτὸν, ἐπειδὴ φέρεται μῦθος, ὡς ὅτι πρῶτον ἐν τῇ τῶν Ἀθηνῶν ἀκροπόλει Ἀθηνᾶς προνοίᾳ ἐβλάστησεν. ἔρνος κυρίως ὁ κλάδος τῆς ἀγρίας συκῆς· ἐρινεὸς γὰρ ἡ ἀγρία συκῆ, καταχρηστικῶς δὲ καὶ πᾶς κλάδος.

4.269 Ἔρνεα· κλάδους.

4.270 Ἔσπασον· ἔλαβον. ἦ· ὄντως.

4.273 Γείτοσιν· ἐν τοῖς γείτοσι τόποις τῆς γῆς. γουνοῖσιν· γονίμοις τόποις, καρπίμοις τόποις, ἐν τοῖς γονιμωτάτοις τόποις τοῖς γειτνιάζουσι τῷ αἰγιαλῷ. ἐπακταίη· παραθαλασσία. τεθαλυῖα· θάλλουσα.

4.275 Εὐρίνοιο· τὰς καλὰς ῥῖνας ἔχοντος.

4.276 Ἀνιχνεύει· ἀνερευνᾷ. ἐξερεείνων· ζητῶν, ἢ λέγων.

4.277 Ῥινός· διά.

4.278 Μάρψεν· ἔλαβεν. ἐμάτησεν· ἐματαιώθη, ἀπέτυχεν. ἐπέλασσεν· ἐπλησίασεν εἰς τὸν φωλεὸν τοῦ θηρός.

4.279 Τηλεθόωσαν· ὑψηλοτάτην. ἄφαρ· εὐθέως. μάθεν· γράφεται μάρψεν.

4.281 Πρέμνοισιν· πρέμνοι κυρίως οἱ κορυφαῖοι τῶν δένδρων κλάδοι παρὰ τὸ πρυμνὸν τὸ ἔσχατον.

4.282 Περὶ ῥίζης· ἢ περὶ τὴν ῥίζαν.

4.285 Ἀείρει· ἐμβάλλει.

4.286 Πηχύνασθαι· περιλαβεῖν, περιπλέξαι.

4.287 Ἔρνεϊ· φυτῷ.

4.288 Ἐρειδόμενος· πατῶν. κοτύλῃσιν· πλεκτάναις, τοῖς ποσίν.

4.289 Λελιημένος· ἐπιθυμῶν, σπεύδων. χαίταις· κλάδοις.

4.290 Πτύσσεται· ἀσπάζεται, φιλεῖ. ἔχων· κατέχων.

4.292 Ἑλισσομένη· περιπλεκομένη.

4.293 Βλωθρῇσιν· ὑψηλαῖς.

4.294 Ὑγρός· ὁ πανταχοῦ ἐκτρέχων διὰ τὸ εὐπερίστρεπτον. ἕλιξ· ἐντυλιγμός. τιταινόμενος· συρόμενος, ἐξαπλούμενος.

4.295 Περιρρέει· ἔρχεται, περιέρχεται. ἀκρεμόνεσσι· κλάδοις.

4.297 Φιλέοντι· ἐρῶντι.

4.298 Λωφήσῃ· καταπαύσῃ, ἐφέρπει· πορεύεται.

4.299 Πλησάμενος· κορεσθείς. ἐλαιηροῦ τε πόθοιο· τοῦ ἐπὶ τῆς ἐλαίας αὐτῶν γινομένου πόθου.

4.301 Θαλλούς· κλάδους.

4.302 Εὐφυέας· εὐθαλεῖς, τὰς καλῶς ἀναβλαστάνοντας. μόλιβδον· διὰ τὸ βάρος.

4.304 Ἧιξε· ὥρμησεν.

4.305 Πτόρθους· πτόρθος κυρίως ὁ ὀρθὸς κλάδος παρὰ τὸ πέτεσθαι ὄρθιον

4.306 Ἀνίησιν· οὐκ ἀφίησιν.

4.307 Ἧχθηρε· ἐμίσησεν.

4.309 Ὀρειαύλοις δὲ βοτοῖσιν· ταῖς αἴγαις, τοῖς ἐν τοῖς ὄρεσιν αὐλιζομένοις ποιμνίοις.

4.310 Ἐκπάγλως· λίαν.

4.311 Ἦ· ὄντως. σέβας· ἔκπληξις. οὐκ ἐπίελπτον· μὴ ἐλπιζόμενον. ὁμόφρονα· προσφιλῆ ἀλλήλοις.

4.312 Πάγους· καθέδρας. χαροπήν· φοβεράν.

4.313 Εὖτε γάρ· παρήχησις.

4.314 Μηκάδας· αἶγας· τὸ μηκᾶσθαι ἐπὶ τῶν αἰγῶν, τὸ δὲ βληχᾶσθαι ἐπὶ τῶν προβάτων. λοεσσαμένας· μελλούσας λουθῆναι.

4.315 Ἐνδίους· κατὰ τὸ μεσήμερον, κατὰ τὸν καιρὸν τῆς δείλης. ὀλύμπιος· οὐράνιος.

4.317 Αἰπολίων· ποιμνίων. βαρυαέα· μεγάλην. βαρυηχέα· τὴν μεγαλόφωνον, τὴν βαρέως ἀκουομένην, βαρυάκουστον.

4.319 Ἀνδήροισι· ἄνθεσιν, αἰγιαλοῖς· ἄνδηρα κυρίως τὰ χείλη τῶν ποταμῶν παρὰ τὸ ἄνω τῆς δηοῦς αἵρεσθαι, ἢ ἄνω τῶν διερῶν εἶναι, νῦν δὲ σημαίνει τοὺς αἰγιαλοὺς καὶ τὰ ἐκεῖσε βρύα, καλεῖ δὲ ταῦτα ἄνθη.

4.320 Κεραόν· κερατοφόρον. περισαίνουσιν· εὐφραίνονται.

4.321 Λιχμάζουσι· λείχουσι τοὺς πόδας τῶν αἰγῶν ἀθροιζομένων εἰς τὴν θάλασσαν. ἀθρόοι· ἀθρόον δὲ τὸ μὴ ἔχον θόρυβον. ἀμφιχέονται· περιχέονται.

4.322 Κατασπαίροντες· πηδῶντες.

4.323 Πρωτοδαεῖς· πρωτομαθεῖς, τοὺς ἄρτι τοῦτο μαθόντας. φίλον χορόν· τῶν σαργῶν. οὐκ ἀέκουσαι· ἐθελουσίως.

4.324 Δέχνυνται· δέχονται.

4.325 Σταθμοῖσι· μάνδροις. κατηρεφέεσσι· κατεστεγασμένοις.

4.326 Ἐκ βοτάνης· ἀπὸ τῆς νομῆς.

4.328 Ἦμος· ὁπηνίκα. περίχωρος· ὁ πλησίον τόπος, ὅλος ὁ τόπος ἀντηχεῖ ἐκ τῆς φωνῆς τῶν αἰγῶν. ἰωῇς· κραυγαῖς,

4.329 Νηπιάχων· ἐρίφων κέκληγε· ἠχεῖ, βοᾷ.

4.330 Κεραῇσι· κερατοφόροις. περισπέρχουσ'· κυκλῶσιν.

4.331 Ἄδην· κόρον. ἴσχωσι· λάβωσιν. λοέτρων· καθαρσίων.

4.333 Ἀχνύμενοι· λυπούμενοι.

4.334 Ἀμείβει· διέρχεται.

4.335 Ὡς δ' ὅτε· παραβολή. τηλύγετον· γνήσιον. ἀκοίτην· σύζυγον.

4.336 Τῆλε· μακράν. ἰόντα· πορευόμενον, ἀποδημοῦντα.

4.337 Οἱ· ἐννοουμένῃ. ἀλύει· ἀδημονεῖ.

4.338 Οἱ· αὐτῷ· μεσσηγύς· διὰ μέσης. κύκλα· διαδρομαί.

4.341 Λισσομένη· παρακαλοῦσα.

4.342 Ὀπωπάς· ὀφθαλμοὺς, θεωρίας.

4.343 Ὑπ' ὄμμασι· ἀπὸ τῶν ὀμμάτων.

4.344 Οἰωθέντας· μονωθέντας, πάλιν· ὀπίσω, εἰς τοὐπίσω.

4.346 Συνοίσεσθαι· γενήσεσθαι.

4.347 Κῆρας· θανάτους. ἑούς· σούς.

4.348 Τεκμαίρεται· ζητεῖ.

4.349 Διδύμοισιν· διπλαῖς, ἀνισταμένας· ὑψηλὰς, ἐξεχούσας. κροτάφοισιν· ἐξοχαῖς· κρόταφος ἀπὸ τοῦ κηρύσσειν τὸν τάφον, ἢ παρὰ τὸ ποιεῖν κρότον τῇ ἀφῇ.

4.350 Στεινωπόν· στενόν. χῶρον· μέσον, τὸν μεταξὺ τῆς θαλάσσης τόπον.

4.351 Αἰθέρος· αἰθέρα λέγει τὸν ἥλιον ἀπὸ τοῦ αἴθω τὸ καίω, ὁ δ' Ἀριστοτέλης φησὶν ἀπὸ τοῦ ἀεὶ θέειν. διαυγέας· λάμποντας, διαλαμπομένας.

4.352 Ὁμόκλιτον· ὁμόκοιτον, ὁμοκάθεδρον. αὖλιν· αὐλὴν, αἰολικῶς συνεστάλη.

4.353 Πυρσοῖσιν· ἀκτῖσι, ταῖς λαμπηδόσιν.

4.354 Ἔνθα· ἐκεῖσε. μελέεσσιν· ἐπί. ἐφεσσάμενος· ἐνδυθεὶς, καλυψάμενος.

4.355 Συνάψας· δεσμήσας, ἀνάψας.

4.356 Στέλλεται· πορεύεται. ὁρμαίνων· διαλογιζόμενος, φροντίζων, εὐτρεπίζων. νόμιον· κατὰ νομεῖς, ποιμενικόν.

4.357 Λιπήνας· ἀλείψας.

4.358 Ἄλφιτα· ἄλευρα· κυρίως τὰ τῶν κριθῶν ἄλευρα ἀπὸ τοῦ ἀλφῶ τὸ εὑρίσκω· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὸν σῖτον κριθὰς ἤσθιον. ἐπωπή· πρόσοψις, φαντασία, ὅρασις, ὄψις.

4.359 Εὐδώρητος· καλὴ, ἢ καλῶς δωρηθεῖσα.

4.361 Περισσαίνοντες· χαιρόμενοι, τὸν τῇ αἰγὶ ἐοικότα πολέμιον αὐτοῖς ἄνδρα κολακεύοντες.

4.363 Φρεσίν· νοήμασιν. αἰγείοισι· μηλείοις. ἀρηρότος· ὄντος, ἔχοντος.

4.364 Κραναήν· τραχεῖαν.

4.365 Πολιοῖο· λευκοῦ.

4.366 Χηλῆς· ὄνυχος. ἔμφυτον· ὅμοιον, καὶ τὸ ἐμπεφυκὸς τῇ χηλῇ.

4.367 Ἐσσυμένως· ταχέως.

4.368 Αὖ· εἰς τοὐπίσω. ὀΐσσεται· ὑπολάβοι.

4.370 Ἀποστύξαντες· μισήσαντες.

4.371 Ἔνδια· διατριβὰς, τὰ λαμπόμενα.

4.373 Λειφθείη· τῶν σαργῶν ἀπολειφθῇ. δαμάσσεται· θηρεύει. ὀπωπή· θεωρία, φαντασία. ὀπωπῇ· ὁράσει, μορφῇ.

4.374 Μέλει· ἔγκειται.

4.375 Δηριόωνται· μάχονται.

4.377 Ἐπάρκιος· ἱκανὸς, ἀρκετός. ἔπλετ'· ἵσταται. ἀκοίτης· ὁμόζυγος, ἀνήρ.

4.378 Εἰσελάει· ἐλαύνει.

4.379 Περιηγέα· κυκλοτερῆ, στρογγύλην. πάντη· παντελῶς.

4.380 Τὸν δέ· τὸν χόρτον. λάχνῃσι· δασύτησιν. πύκασαν· ἐστέγασαν, ἐπύκνωσαν.

4.382 Σκιάσαντες· σκεπάσαντες.

4.383 Οἶστρος ποτὶ μῶλον· διὰ τὸ μὴ ὅλος εἶναι πόλεμον. ἐπώρορεν· διήγειρεν. εὐνητῆρας· συζύγους.

4.384 Γαμήλιος ἐνυώ· ἡ περὶ τοῦ γάμου μάχη.

4.385 Ἀριστεύσας· νικήσας.

4.386 Γλαφυρήν· βαθυτάτην.

4.387 Ἐπηρεφέ'· ἐστεγασμένον, πυκνωμένον. ἀκρεμόνεσσιν· ἄκροις.

4.388 Χορόν· τὸν νυμφικόν.

4.389 Ἐρύκει· κωλύει.

4.390 Ἐᾷ· καταλείπει.

4.392 Προὔκυψεν· εἰσῆλθεν.

4.393 Ὡς δ’ ὅτε· παραβολή. βοτάνηθεν· ὑπὸ τῆς βοσκῆς.

4.394 Εἰροπόκους· τοὺς τὸ ἔριον φερούσας ἀπὸ τοῦ εἴρω καὶ τοῦ πέκω. πάλιν· ὀπίσω, εἰς τοὐπίσω.

4.395 Πεμπάζεται· μετρεῖ· πεμπάζειν κυρίως τὸ κατὰ πέντε ἀριθμεῖν, ἐνταῦθα δ’ ἀντὶ τοῦ ἁπλῶς ἀριθμεῖν εἴληπται.

4.396 Διέπων· ἐνεργῶν. σόα· ἰωνικῶς.

4.397 Εἰλομένοισι· κλειομένοις, συγκεκλεισμένοις

4.398 Στείνεται· στενοχωρεῖται. ἔσσυτο· ὥρμησεν.

4.400 Ἔνθορε· ἐπήδησεν.

4.401 Δειλαίαις· ἀθλίοις.

4.402 Ἄεθλα· παθήματα.

4.403 Ἐρωμανίῃσιν· ἔρωσι, ἐπιθυμίαις, ταῖς μανίαις τοῦ ἔρωτος· κλίνεται γὰρ ἀττικῶς· ὁ ἔρως τοῦ ἔρω.

4.404 Ἀθρήσωσι· θεωρήσωσιν.

4.405 Τῷ· ἐν τούτῳ, τούτῳ τῷ πλαζομένῳ.

4.406 Διαρραισθεῖσαν· διαφθαρεῖσαν. ἀέλλαις· ταραχαῖς.

4.407 Αἰνά· πῶς, αἰνῶς καὶ λίαν, χαλεπῶς. Ποσειδάωνος· τῆς θαλάσσης. ἀμειλίκτοιο· ἀνημέροιο. τυχοῦσαν. ἐπιτυχοῦσαν.

4.408 Δασσώμενον· μερισάμενον, διασκορπισάμενον. διακριδόν· διακεχωρισμένως.

4.409 Δοῦρα· ξύλα. λώβῃσι· βλάβαις καὶ πληγαῖς κυμάτων. πολυσχιδέεσσι· πολυμερίστοις, συνεχέσι, ποικίλαις καὶ διαφόροις.

4.410 Τῆμος· τηνικαῦτα. πινάκεσσι· σκάφαις, σανίσιν. θεούσαις· πρὸς τὸ σημαινόμενον.

4.411 Μεθέπουσιν· ἀνέχονται, ἢ μετ᾽ αὐτῶν ἐνεργοῦσιν, ἐπιτηροῦσιν ἐν αὐτοῖς, ἐνεργοῦσι καὶ συμπλέουσιν. ἐγκύρσας· τυχών.

4.412 Πολλήν· ἄπειρον. ἀμέγαρτον· ἐπίφθονον.

4.413 Ἀλλὰ τὸ μέν· ἦγουν τὸ φθείρεσθαι τὰς νῆας· ὡραῖον. ναύτῃσιν· ἀπό. ἀλεξήσειε· ἀποδιώξειε, βοηθήσειεν.

4.414 Ἐμβύθιος· ὁ τοῦ βυθοῦ ἔφορος Ποσειδῶν. θέοιεν· τρέχοιεν, τρέχωσιν.

4.415 Εὐκήλοισιν· ἡσύχοις. ἀπήμονες· ἀβλαβεῖς. ἀτίνακτοι· ἀτάρακτοι, ἀδιάσειστοι, ἀμετάτρεπτοι.

4.416 Ἀμοιβαίοισι· συχνοῖς, ἐκ διαδοχῆς ἁλιέων. μετερχόμεναι· φέρουσαι. καμάτοισιν· πλόοις.

4.417 Ἀλλοῖα· ἕτερα. τεχνήσασθαι· εἰς τὸ κατασκευάσαι, κατασκευάσασθαι.

4.418 Ἔστιν· δυνατὸν ὑπάρχει. μεταβαινέμεν· μετέρχεσθαι, μετερχόμεθα.

4.419 Συμφυρτούς· μεμιγμένους, τοὺς ἔνθεν κἀκεῖθεν φερομένους. δονάκων· καλάμων. σφακέλους· δεσμὰ, σχοίνους· σφάκελος ἡ σῆψις τοῦ ἐγκεφάλου, καταχρηστικῶς δὲ καὶ ἡ σχοῖνος, καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. γυρώσαντες· κυκληδὸν διατμήσαντες, δεσμήσαντες.

4.420 Λᾶαν· διὰ τὸ βάρος.

4.421 Ὑφορμιστῆρα· στερεωτὴν, κάτωθεν ὁρμώμενον στηρίζοντα τοὺς σφακέλους.

4.422 Ἀτρέμα· ἡσύχως. δινεύουσι· περιτρέχουσι, περιφέρουσιν. φιλόσκια· τὰ τὴν σκιὰν φιλοῦντα.

4.423 Ἀγεληδόν· ὁμοῦ.

4.424 Ἀνατρίβουσι· ἀνέρχονται. μένοντες· πρὸς τὸ σημαινόμενον.

4.425 Τοῖς δέ· τούτων. ἑτοίμην· σύντομον.

4.426 Εἴδασιν· βρώμασι, τροφαῖς.

4.427 Ἐρύουσι· ῥίπτουσιν ἑαυτοὺς καὶ πλέουσιν ἀγρεῦσαι αὐτούς.

4.429 Δινεύων· κινῶν, ῥίπτων. μέσσοισι· τοῖς κυσίν. ἑλώρια· βρώματα.

4.430 Μαργαίνοντες· μαινόμενοι.

4.431 Προθέουσι· προλαμβάνουσιν.

4.432 Ἔρις· μάχη.

4.434 Ἀγρευτόν· κρατητόν. ἐρύσσεται· λάβῃ, ἑλκύσῃ.

4.435 Ἐών· ὁ ἁλιεύς· αὐτοὶ γάρ· πλέον τῶν ἁλιέων ἐνεργοῦντες. ἐπισπεύδουσ'· τουτέστι πλέον τῶν ἁλιέων προσπεύδουσιν.

4.436 Ἀφραδίῃσι· μωρίαις. ἐγκονέοντες· σπουδάζοντες, σπεύδοντες.

4.437 Τοίῃ· ὁμοίᾳ. ἐπιφροσύνῃ· νοήσει.

4.438 Ἶσον· ὅπερ οἱ ἵππουροι. ἦτορ· προθυμία.

4.439 Ἐπιμηχανόῳτο· κατασκευάσει.

4.440 Ἐντύνων· κατασκευάζων. κλωστῆρι· ἀτράκτῳ, ἤγουν ἀτρακτοειδὲς ξύλον· κλωστὴρ ἐργαλεῖον σταυροειδὲς, ὅπερ γυριζόμενον διὰ χειρὸς κλώθει τὸ παρατυχὸν λίνον.

4.441 Καταζεύξειεν· δεσμήσει. ἀνακλίνων· πηγνύων, ἐν τῷ ξύλῳ.

4.443 Ἐμπείρειεν· σουβλίσειεν ὕπτια· ἐξηπλωμένα, ἐκ πλαγίου.

4.444 Δάγματ'· ὀξύτητας, ὀξύτησι τῶν ἀγκίστρων, τοὺς πώγωνας τοῦ ἀγκίστρου. γλαυκῆς· φοβερᾶς.

4.445 Ἀναψάμενος· δήσας. σύροι· συρέτω.

4.446 Ἐφωρμήθη· ἔδραμεν.

4.447 Ἰκμαλέοισι· διύγροις. θυσάνοισι· πτεροῖς, ἱματίοις, πλοκάμοις, κροσσοῖς. πάγη· ἐσουβλίσθη.

4.448 Μεμαυῖα· προθυμουμένη. λιπεῖν· καταλειφθῆναι.

4.449 Αὐτόπλεκτον· ἀφ᾽ ἑαυτοῦ πλεχθὲν, τὸ ἀφ᾽ ἑαυτῆς πλεκόμενον, αὐτοδέσμητον, αὐτοκράτητον, αὐτάγρευτον.

4.450 Ἀκλύστοισι· τοῖς μὴ ταρασσομένοις ὑπὸ τῶν ἀνέμων, ἁλὸς περικλυζομένοις.

4.451 Κοῦρος· νέος. ἀθύρων· παίζων.

4.452 Οἰός· προβάτου. περιμήκετον· μέγα, μακρότητα. ἧκε· ἔβαλεν.

4.453 Ἐκτάδιον· ἡπλωμένον, ἐξηπλωμένον.

4.454 Ἐπόρουσε· ὥρμησεν. ἔσπασε· ἔλαβεν.

4.455 Ἔγνω· ὁ κοῦρος. μήλειον· προβάτειον, τὸ ἐκ τοῦ μήλου ἤτοι προβάτου ἔντερον. ἐκύρτωσεν· ὄγκωσεν. ἀϋτμῇ· πνοῇ.

4.456 Ἐμπνείων· φυσῶν, ἐμφυσῶν. ἀνίσταται· ὀγκοῦται. ἄσθματι· πνοῇ. λαύρῳ· μεγάλῳ· λαῦρον ἐπὶ μὲν ἀνέμου διὰ τοῦ υ ψιλοῦ δέον ἐστὶ γράφειν παρὰ τὸ αὖρα ἡ πνοὴ καὶ τοῦ λίαν, ὃ σημαίνει τὸ πάνυ, ἐπὶ δὲ κυνὸς ἢ ἄλλου τινὸς ζώου διὰ τοῦ βῆτα παρὰ τὸ λίαν βορὸν ἤτοι φαγόν.

4.457 Οἰδαλέον· γινόμενον.

4.458 Περιστένεται· στενοῦται.

4.459 Δέδεται· δεσμεῖται. ἀλύξαι· ἐκφυγεῖν.

4.460 Οἰδαίνουσα· ὀγκοῦσα. ἀσθμαίνουσα· πνέουσα, βιαζομένη.

4.461 Ἀναπλώσῃ· ἀναπνεύσῃ.

4.462 Ὡς δ᾽ ὅτε· παραβολή· τὴν παραβολὴν ἀπὸ τῶν σιφωνιζόντων· φησὶ γὰρ ὅτι ὥσπερ τις ἀνὴρ πεπληρωμένου καὶ γέμοντος ἀμφορέως πειρωμένου, αὐλὸν ἤως σιφώνιον ἔχων ἤρεισεν οἰονεὶ ἥρμοσεν ὑπὸ τοῦ ἑαυτοῦ στόμα τὸν φυσητῆρα, τουτέστι τὸν αὐλὸν, τῷ δὲ στόματι ἑλκύει ποτὲ τοῦ μέθυος, ἕλκων αὐτὸ ἐξ ὑποστροφῆς ἐκ τοῦ ἀγγείου εἰς ἑαυτὸν, ἐνσιφωνίζειν τοῖς χείλεσι τῷ ἀκροτάτῳ, τὸ δὲ μέθυ ἀνατρέχει τῇ

ἀναπνοῇ ἤως τῇ ἀναρροφήσει τοῦ ἀνδρός. πλείου· πεπληρωμένου, ὅθεν καὶ κρητικῶς γέγραπται διὰ τοῦ ει διφθόγγου. πειρώμενος· δοκιμάζων. ἀμφιφορῆος· πίθου, τοῦ ἀμφοτέρωθεν φερομένου.

4.463 Ἤρεισεν· ἥρμησεν, ἡδραίωσεν. φυσητῆρα· αὐλὸν, τὸν σίφωνα.

4.464 Ἐρύει· ἕλκει. μέθυος· οἴνου.

4.466 Κυμαίνουσαι· φυσώμεναι.

4.468 Ἄκικυς· ἀσθενής.

4.469 Ἀδινόν· πολὺ, λεπτόν.

4.470 Ἀγαθή· ἑτοῖμος.

4.471 Φύζα· φόβος, φυγή. δέδυκε· εἰσέρχεται. δέδῃε· ὑπεισέρχεται.

4.472 Ὑποτρομέουσι· τὰ πάντα ἅπερ ἐῶσι φοβοῦνται. σύν· ἐν. χυθεῖσαι· ὁρμηθεῖσαι.

4.473 Ἐμπεφύασι· κεκόλληνται.

4.474 Ἀναγκαίοιο· βιαστικοῦ, ἀναγκαστικοῦ, ἤως καθάπερ δύναμιν δεσμοῦ ἐξ ἀνάγκης αὐτῷ ἐπικειμένη φέρουσι, τουτέστιν ἄλλου δεσμεύσαντος αὐτὰς ἀναγκαστικῶς.

4.475 Μητίσαιο· νοήσῃς, κατανοήσῃς.

4.476 Τοῖον· οὕτως, τοιοῦτον. ἔχονται· δεδέσμηνται.

4.477 Ἔργμασιν· κωλύμασι, στηρίγμασι, καλύμμασι, θαλασσίοις λίθοις κεκρυμμένοις. ἔκελσαν· ἔτυχον, ἐνέτυχον· νῆες προσέκελσαν αὐταῖς ὥσπερ ἐν φραγμῷ ἢ τοίχῳ, καὶ ἐνεποδίσθησαν ἐξ αὐτῶν.

4.478 Σφιν· αὐταῖς, αὐτάς. ἐνιπλήσσουσιν· ἐμπλέκονται, τύπτουσιν. ἐρετμοῖς· κωπηλασίαις.

4.479 Κληῖδων· ἐκ τῶν καθεδρῶν, ἐνέσχετο· ἐκωλύθη.

4.480 Χοιράδος· ὑφάλου. ἀντιτυχοῦσα· πλήθης.

4.481 Βουπλῆγα· πέλεκυν.

4.482 Ἐτίναξε· ἔκοψεν. διέκερσε· διέκοψεν.

4.483 Ἀπεδάσσατο· ἐμέρισεν, ἐμερίσατο. Τάμε· ἔκοψεν. ἐκόλουσεν· ἔκοψεν.

4.485 Ἤμησε· ἐθέρισεν, ἔκοψεν.

4.486 Οἰκτρόν· ἐλεεινὸν, ἐλέους ἄξιον. μογεροῖσιν· ἀθλίοις.

4.487 Ἀνέηκαν· ἀνέδωκαν, ἀφῆκαν.

4.488 Γόμφος· δεσμὸς, συναγμός. ἄρηρεν· ἥρμοσται.

4.489 Καὶ μέν τις· γράφεται καί κέν τις. παλάμῃσιν· ἐν.

4.490 Ἀντιάσας· τυχών. ἀμήσαιτο· λάβῃ, σωρεύσῃ, συναγάγῃ, ἀποσπάσῃ.

4.491 Φράσσωνται· νοήσωνται. πεπτηυίας· κειμένας, συνηγμένας. περιπτύσσουσιν· ἀποκλείουσι, κρύπτουσιν.

4.494 Νόσφι· χωρίς. ἀφύῃσιν· ἐν.

4.496 Νήησαν· συνῆξαν, ἐσώρευσαν. χύσιν· σωρόν.

4.497 Ἐργατίναι· θερισταὶ, γεωργοί· παραβολή· ἐργατίνης ὁ θεριστὴς, καὶ κλίνεται ἐργατίνου. δηοῦς· θέρους, τῆς γῆς, τοῦ θερισμοῦ τῆς γῆς. τελέσαντες· πληρώσαντες.

4.498 Πνοιῇσι· ἐν. ἐρετμοῖς· λικμητηρίοις, τριόδουσι, πτύοις.

4.499 Εὐτροχάλοιο· στρογγύλου. ἀλωῆς· ἁλῶνος.

4.500 Ἐνηήσαντο· συνῆξαν, ἐσώρευσαν.

4.501 Πυροδόκος· σῖτον δεχομένη, ἄλως. στεφάνη· ἡ περιφερὴς ἄλως.

4.503 Ἀγχιάλοιο· πλησίον τοῦ αἰγιαλοῦ.

4.504 Πηλαμύδων· Διὰ τί λέγονται πηλαμύδες; ὅτι ἐν τῷ πηλῷ μύουσι, τουτέστιν ἀμβλυωποῦσι κατὰ τὸν χειμῶνα ἐν τοῖς πηλώδεσιν· οἱ δέ φασιν, ὅτι φυσικῶς τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι, τῷ δὲ λοιπῷ οὐκέτι,

καὶ τοῦτο τεκμηριοῖ ὁ Αἰσχύλος λέγων·
τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.

4.505 Εἰλείθυιαι· γεννήματά εἰσιν, γεννήσεις.

4.506 Κεῖναι· αἱ θύνναι. Μαιῶτις· ἔστι θάλασσα ὑπεράνω τοῦ Εὐξείνου πόντου, ἥτις εἰς τὸν Εὔξεινον πόντον εἰσρέει καὶ ἐξ αὐτῆς τῆς Μαιώτιδος καλεῖται καὶ ὁ Εὔξεινος πολλάκις Μαιῶτις, ἡ μαιεύουσα ἢ τρέφουσα τοὺς ἰχθύας. ξυμβάλλεται· εἰσέρχονται.

4.507 Δονακῆας· καλαμῶνας.

4.508 Ὑδρηλούς· καθύγρους, διύγρας, καθύλους. ὠδῖνος· τῆς γεννήσεως. ἐπαλγέος· δεινοτάτης.

4.509 Μεταδρομάδην· μετὰ σπουδῆς. μετατροπάδην· μεταδρομάδην, μετὰ δρόμου, ἢ ἐπιτρέχουσαι.

4.510 Σχοίνοισι· βρύοις, βρούλοις, σχῖνος δὲ δένδρον.

4.511 Ὥρη· ὁ καιρός.

4.512 Πρῶτον· πρώτως. ἐπιψαίρωσι· κινηθῶσιν. πόροιο· τοῦ πόντου. πειρήσονται· δοκιμάσωσι, δοκίμασον.

4.513 Μετά· εἰς.

4.514 Ἠβαιαί· ἀσθενεῖς.

4.515 Βάθιστον· ὥσπερ παρὰ τὸ ἡδὺς ἥδιστος, οὕτω καὶ παρὰ τὸ βαθὺς βάθιστος.

4.516 Κλήροισι· καθέδραις. τετύχθαι· κατασκευάσαι.

4.517 Μέλας· πόντος, παρὰ τὸ μὴ λάω ἢ τὸ οὐ βλέπω. λάβρος· ἀπὸ τοῦ λίαν καὶ τοῦ βορός.

4.518 Ὑπέροπλοι· ἰσχυροὶ, ἀναίσχυντοι. ἐπιθρώσκουσιν· ἐπιτρέχουσιν.

4.519 Πεφύασι· εἴσιν, ὑπάρχουσιν.

4.520 Πηλώεντες· ἀττικὴ ἐπαύξησις. ἀθέσφατοι· ἀκατανόητοι, ἄλεκτοι. πολλά· τῶν βοτανῶν.

4.521 Τίκτεται· οἷον σκώληκες. δαῖτας· τροφὰς, βρύα καὶ τὰ τοιαῦτα· ἐκ τούτων γὰρ τρέφονται οἱ ἰχθύες· γράφεται δέμας. ὀφέλλει· αὐξάνει, αὔξει, φύει.

4.522 Ἔνθα· ἐκεῖ. κέλευθα· ὁδοί.

4.523 Ἐσμοῖσι· πλήθεσιν. περιώσιον· περισσότερον.

4.524 Φρίσσουσι· φοβοῦνται. δυσαέα· δύσπνευστον, δύσπνοον. ὁρμήν· πνοήν.

4.525 Χεῖμα δέ· ἱστοροῦσιν ὅτι ἡ πηλαμὺς ἀμβλυωπεῖ κατὰ τὸν καιρὸν τοῦ χειμῶνος ἐν τοῖς πηλώδεσι τόποις, τινὲς δέ φασιν, ὅτι τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι φυσικῶς, τῷ δὲ λοιπῷ οὐκέτι, ὡς καὶ Αἰσχύλος·
τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.
ἀπαμβλύνει· ἐκτυφλοῖ.

4.526 Ἔνθα· ὅπου.

4.527 Μένουσι· καρτεροῦσιν.

4.528 Λαρόν· ἡδὺ, τὸ γλυκὺ ἢ τὸ θερμόν. τῇδε· ἐκεῖ, ἐνταῦθα, ἐκεῖ δ’ αὐτοῖς ἡ ἐπιθυμία ἀνύεται τῆς γονῆς, τουτέστι τῆς συνουσίας. ἄνεται· γίνεται, αὐξάνεται. εὐνῆς· εὐναῖς.

4.529 Παλίμποροι· παλιμπόρευτοι. ἴενται· πορεύονται.

4.530 Μόγον· τόκον.

4.532 Ἀγρώσσουσι· ἀγρεύουσιν αὐτὰς θήραν χαλεπὴν καὶ εὐτρεπῆ τοῦ πολέμου.

4.533 Ἀργαλέην· ἐπίπονον, ἀτερπέα, ἀνευφρόσυνον. δηιοτῆτος· πολέμου, ἀγρεύσεως.

4.534 Θεσμὸν ὑφ’· ὑπὸ νόμον. αἱματόεντα· αἱματηρὸν, αἱματικά.

4.535 Πάχετός τε μεγίστη· παχεῖα.

4.536 Στιβαρή· στερεά. δοκίς· ξύλον. ἄκρῃ· τῆς δοκίδος.

4.537 Πολλὴ μέν· διὰ τὸ εἰδέναι δηλονότι.

4.538 Ἐπασσύτεραι· πυκνότεραι, πυκναί.

4.539 Ἐπίμηκες· μακρότατον. ἀμφιβέβηκε· περὶ τὸ ξύλον δέδεται, εἰς αὐτὸ τὸ ξύλον δέδεται.

4.540 Δουρί· κώπῃ. ἀναπλώσαντες· ἀναχθέντες. βάθιστος· ὑπάρχει.

4.541 Ἠερόεντα· σκοτεινόν. περικρατές· ἰσχυρόν.

4.542 Εἰλατίνου· ξύλου, ἀπὸ τοῦ ἄκρου ξύλου τῆς δοκοῦ τῆς ἀπ᾽ ἐλάτης δένδρου. κρατερὸν σθένος· τὴν ἰσχυρὰν δύναμιν.

4.543 Σπερχόμενον· βαρυνόμενον, κινούμενον. καταρρεπές· κατωφερὲς γινόμενον, κάτω ῥέπον.

4.544 Σεύεται· ὁρμᾷ. ἔνθα· ἢ ἐν τῇ ἐσχάτῃ ῥίζῃ.

4.545 Προὔτυψεν· ἐφάνη. ἰλύσι· ῥύποις. πεπτηυίαις· κειμένας.

4.546 Ἕλε· προσέπεσεν. ἐτόρησεν· προσεπέβαλεν.

4.547 Ἐληλαμένας· πεπηγμένας.

4.549 Θρασυκάρδιος· ἀνελεήμων, ἀπηνής.

4.550 Θήρης· ἕνεκα.

4.551 Ἐλήλατο· διῆλθεν, ὥρμησεν.

4.553 Οὔταται· τέτρωται. νηδὺν δ᾽ ἑτέρης· ἔλε συνεκδοχικῶς.

4.554 Ἄρης· ὁ σίδηρος. κενεῶνα· λαγόνα. πέπαρται· διαπερόνηται.

4.555 Κλιθέντος· παυθέντος, παύσαντος, τραπέντος· ὁμοιοῖ καὶ εἰκονίζει τὸ εἴδωλον τοῦ πολέμου, τουτέστι τῶν ἐκ τοῦ πολέμου νεκρῶν. ἐνυαλίοιο· πολεμικοῦ.

4.556 Δουριφάτους· δορυφονεύτους. ἐξανελόντες· Καλλίμαχος ἄπελον τὸ ἕλκος λέγει ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ πελῶ τὸ πλησιάζω, τὸ

ἑλκυσθὲν καὶ διακριθὲν κατὰ διέχειαν σῶμα· τὰ γὰρ ἕλκεα πολλὰ καὶ αἰόλα ἐν τοῖς σώμασι τῶν νεκρῶν.

4.557 Στέλλουσιν· ἀπατοῦσιν.

4.558 Μυρόμενοι· θρηνοῦντες. σώμασι· ἐν τοῖς.

4.559 Ἕλκεα· τραύματα. βολαί· κατατοξεύσεις.

4.560 Ἐπιπρέπει· φέρει.

4.561 Εἴδωλον πολέμοιο· τὸ ὁμοίωμα, ὁ σίδηρος.

4.562 Ἀφαυρῶν· ἀσθενῶν.

4.563 Κνέφας· νύκτα, σκότος

4.564 Ἐμπίπτει· ἔλθῃ, εἰσέρχεται. ὀρφναῖον· κατὰ τὸ σκότος.

4.565 Ὄρφνῃ· σκοτίᾳ. ἀτυζόμεναι· φοβούμεναι.

4.566 Κοῦφα· λεπτὰ, ψιλά. ἐλαφρῶν· ψιλῶν.

4.567 Βίῃ· δυνάμει. θείνοντες· τύπτοντες.

4.568 Δοῦπον· γράφεται νῶτον. κοντοῖς· κονταρίοις. καταΐγδην· ὁρμητικῶς.

4.569 Σμαραγῆς· γράφεται μαρμαρυγῆς. μαρμαρυγῆς· φαντασίας, κινήσεως, ἐκλάμψεως. πολυαρέος· πολυκωπηλάτου. ὁμάδοιο· θορύβου.

4.570 Φυζαλέαι· φυγάδες, φεύγουσαι. ἴενται· εἰσέρχονται.

4.571 Ἀτρέμας· ἡσύχως. ἑστηῶτος· ἱσταμένου.

4.572 Δούποιο· κτύπου. εἰσεπέρησαν· ἦλθον, εἰσῆλθον.

4.573 Ἐπισπέρχουσ'· σπουδάζουσιν.

4.575 Σχοίνους· σημείωσαι· Σχοῖνος πόλις, σχοῖνος δὲ δένδρον. κινυμένας· πεπλεγμένας. ἀνεμώλια· ματαῖα.

4.576 Εἰλύμεναι· κρυπτόμεναι. εἱλόμεναι· συγκλειόμεναι, συσφιγγόμεναι πρὸς ἀλλήλους. ἐσπείρηνται· ἀθροίζονται, συναθροίζονται· σπεῖρα ἡ ἕλιξ τοῦ

ὄφεως λέγεται, ἐνταῦθα δ᾽ ἐσπείρηνται ἀντὶ τοῦ συνεσφίγχθησαν· σπεῖρα γὰρ τὸ σύνταγμα καὶ τὸ ἄθροισμα· σπεῖρα γὰρ καὶ ὁ ἐντυλιγμὸς τοῦ ὄφεως· ἐσπείρηνται ἀντὶ τοῦ δίκην ὄφεως συσφίγγονται.

4.577 Ἀρήσαιτο· ἐπεύξαιτο.

4.578 Θορεῖν· ὑπερπηδῆσαι.

4.579 Κινύμενον· ὁρμούμενον. δεῖξαι· ταῖς ἄλλαις. πόρον· ἔκβασιν.

4.580 Ὑπὲρ κούφοιο λίνοιο· ὑπερπηδῶσαι τοῦ λίνου.

4.581 Ἀΐσσουσι· ὁρμῶσιν.

4.582 Ἁλιπλάγκτων· θαλασσοπλανήτων. νεμεσήσει· ὀργίσθη.

4.584 Ἔξαλοι· ἐκτὸς τῆς ἁλὸς, ἐκτὸς τῆς θαλάσσης. ἐνέχονται· δεσμοῦνται.

4.585 Μηρίνθῳ· σχοίνῳ. πολυδινέι· πολυκινήτῳ. πεπτηυῖαι· κείμεναι· γράφεται πεφρικυῖαι.

4.586 Ὀρέστεροι· ὀρεινότεροι· παραβολή.

4.587 Ἄναλκιν· ἀσθενῆ. εὐαγρέι· εὐαγρεύτῳ.

4.588 Μηρίνθων· λίνων ἢ σχοίνων. στέψαντες· στεφανώσαντες, περικυκλώσαντες. δρίος· δάσος, ὄρος.

4.589 Θοά· ταχύτατα.

4.590 Ἠλέματα· ματαίως, ματαῖαι· ἠλέματον τὸ μάταιον. Ἠλέματα ἀπὸ δύο λέξεων ὁμοδυνάμων σύγκειται, τὸ ἠλεὸν καὶ τοῦ μάταιον, καὶ γίνεται ἠλέματον ὥσπερ ἀπὸ τοῦ ὄρω καὶ τοῦ θύνω τὸ ὀροθύνω, καὶ ἀπὸ τοῦ χέω καὶ ῥέω καὶ νάω χρόνος. πτώσσουσι· φοβοῦνται. κενόν· μάταιον.

4.591 Μαψιδίαις· ματαίαις. μαψιδίως· ματαίως. πτερύγεσσι· κατὰ παράχρησιν πτέρυγας τὰ πτερά. ἀτυζόμεναι· φοβούμεναι.

4.593 Δύπτης· κολυμβητής, δύτης κατ᾽ ἔλλειψιν τοῦ π, ἤως ὁ ἐν τῇ θαλάσσῃ δύων κολυμβητής. εὐμήχανος· ἐπιστήμων.

4.594 Δόλου· δελεάσματος.

4.595 Χέρσον ἀμειβόμενος· βαδίζων ἐν τῇ γῇ.

4.598 Εἰλόμενοι· κρυπτόμενοι. πτώσσουσιν· κεῖνται.

4.599 Δόχμιοι· πλάγιοι. ἀναφρίσσουσι· ὀπλίζονται, ὀρθοῦσιν, ἀνορθοῦσιν.

4.600 Μετακλίνοντες· τιθέντες, μεταβάλλοντες. σκολόπεσσιν· ὀξύτησιν, ὀρθοῖς ξύλοις.

4.601 Περίδρομον· στρογγύλον. ἀλωῆς· ἀμπέλου.

4.602 Ἀγρονόμοι· οἱ γεωργοὶ, οἱ ἔχοντες τὴν τροφὴν ἐκ τοῦ ἀγροῦ. σίντῃσι· βλάπτουσι, κλέπταις. μεγάπονον· μέγαν πόνον.

4.603 Ἐσβαίη· εἰσέλθῃ. σκῶλοι· ἐμποδιστικοὶ, ὀρθὰ ξύλα. ἐρητύουσι· κωλύουσιν.

4.604 Ἐνιχρίμψειεν· προσψαύσειεν. ἑτοίμοις· ἀντὶ τοῦ ἰσχυροῖς παρὰ τὸ κρατηθῆναι, εὐχερέσι, προχείροις, εὐτόλμοις περὶ τὸ κρατεῖσθαι.

4.605 Φρίσσουσι· πεπύκνωνται, ἀνορθοῦνται.

4.606 Πρόκροσσαι· ὀξύτητες, ἐξέχουσαι. πυκινῇσιν· ὀξύτησιν. σταλίκεσσιν· ταῖς ὀξυτέραις ἐκ μεταφορᾶς τῶν κινητικῶν· στάλικες τὰ πολυβέργια.

4.607 Ἰδμοσύνῃσιν· ἐμπειρίαις. κεύθεα· βάθη.

4.608 Ἐσσυμένως· ὡρμημένως. δύοιτο· εἰσέλθῃ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ, ἀντὶ τοῦ εἰσελθέτω. ἢ οὕτως· εὐκτικὸν ἀντὶ τοῦ νὰ εἰσέλθοι τὸ ἐν ταῖς ἐμπορίαις· ὁμοίως καὶ τὸ περιφράσσοιτο. περιφράσσοιτο· περιβλέψοιτο.

4.609 Κλίσις· ῥοπή.

4.611 Καταρρέξειεν· κατακρατήσειεν ἐπικλίνοι· ἐπιφέροι πιέζων· συσφίγγων, ἐπισφίγγων.

4.613 Ἀστεμφεῖς· ἀχώριστοι.

4.615 Ἀναπλώει· ἀναχωρεῖ. πανεπίκλοπον· δόλιον.

4.616 Πετραίην δὲ σκίαιναν· ἡ σύνταξις τρισσῶς, ἢ κατὰ στιγμὴν, ἢ κατ᾽ ἐπένθεσιν εἰς προθέσεως, ἢ κατ᾽ ἀντίπτωσιν.

4.617 Σπιλάδεσσιν· ὑφάλοις πέτραις. ἐπέσσυτο· ὥρμησεν.

4.618 Χειήν· κατάδυσιν. εἰσεπέρησεν· ἐπέδραμεν. περίδρομον· κυκλοτερῆ. χαράδρην· παρὰ τὸ κεχαράδραι

4.619 Ἁλίῃσι· θαλασσίαις.

4.620 Οἷον· δυνατόν.

4.621 Οἶον· μόνον.

4.622 Φράξασθαι· καλύψαι, περικαλύψασθαι.

4.623 Ἐφορμήν· ἐπέλευσιν.

4.624 Ὠμηστῆρος· ὠμοφάγου· παραβολή.

4.625 Βουβαλίς· βούβαλος.

4.626 Μαψιδίην· ματαίαν. προτιβάλλεται· ποιεῖ.

4.628 Δαρδάψῃ· καταφάγῃ. ὁμοίιον τὸ αὐτό.

4.630 Τοιάδε καί· οὕτω καὶ ἡ στρουθοκάμηλος ποιεῖ ὡς ἡ βουβαλίς. Λιβύης πτερόεν βοτόν· τὸν στρουθοκάμηλον λέγει. ἀγκυλόδειρον· λοξοτράχηλον.

4.631 Μελέῃ· ματαία. ἔπλετο· ἐγένετο.

4.632 Ἀταλή· ἁπαλή. μελέῃσι· ματαίαις. ἐλπωρῇσι· ἐλπίσιν.

4.633 Μιν· αὐτόν. ἐρυσσάμενος· ἑλκύσας.

4.634 Ἀνέδυ· ἀνῆλθεν. ἀφραίνουσαν· κενομένην. ἔφηνε ἔφανεν, εἶπεν, ἐφόνευσε καὶ ἔδειξεν.

4.635 Ἐδάην· ἔμαθον. ἁλιεργέα· τὰ τῆς θαλάσσης ἔργα.

4.636 Πικρὸν ὄλεθρον· ἐδάην.

4.637 Ὁμοίιος· κακή. αἶσα· θάνατος. κιχάνει· καταλαμβάνει.

4.638 Κύρτων τ᾽ ἀγκίστρων· ἐκ τούτων πάντων ἀγρεύονται τὰ λοιπά. πολυπλεκέος· βαθύ.

4.639 Ἔντεα· ἅρματα, ὅπλα. τέχνης· ἤως ἐργαλεῖα.

4.640 Ὑπηματίους· κατὰ τὴν ἡμέραν· πολλάκις γὰρ τῷ φωτὶ ἀγρεύονται οἱ ἰχθύες. ἕσπερος· κατά.

4.642 Γλαφυρόν· βαθύτατον.

4.643 Ἀτρεμέουσιν· ἡσυχάζουσιν. ἀείδελον· ἀφανῆ.

4.646 Ῥιπῆς τριγλώχινος· τῆς ὁρμῆς τοῦ μὴ προσηνοῦς τριόδοντος τυχόντες.

4.648 Φαρμακταῖς· πανούργοις, πανουργοτάτοις· τινὲς γὰρ τῶν ἰχθύων φαρμάκοις ἀγρεύονται. λυγρόν· χαλεπόν.

4.650 Ἐπασσυτέραις· συχνοτέραις.

4.651 Αἰκίῃσιν· τύψεσιν.

4.652 Εἱλεῦσιν· συστρέφουσιν, συγκλείουσι τὴν πορείαν, τὴν κίνησιν, τὸ πλῆθος τῶν ἰχθύων.

4.653 Κοιλοφυῆ· λακκώδη, βαθῆ. ὑπαγνύμενον· μεριζόμενον. ὑπαγνύμενοι· ὑποκυκλούμενοι.

4.654 Δύνουσιν· ὁρμῶσιν.

4.657 Περιπροβαλόντες· στησάμενοι. ἀνάρσια· ἐχθρά.

4.658 Ἄργιλον· λευκήν. πίειραν· λιπαράν. ἀείρας· συνάξας.

4.659 Ἐφήμισαν. ὠνόμασαν.

4.660 Φυρήσατο· ἔμιξεν.

4.661 Λίνων ὑπέρ· ὑπεράνω τῶν δικτύων. ἐγκατέπαλτο· ἔρριψεν. αὐτῆς· αὐταῖς.

4.662 Δυσαέα· κακόπνευστα.

4.663 Ἐχθοδοποῖο· μισητοῦ, ἐχθρώδας. ἐξεμίηνε· ἐμίανεν.

4.664 Παλίνορσον· ὀπισθόρμητον. φαρμάξαντα· φαρμακοποιήσαντα.

4.665 Αἶψα· ταχέως. ἀνάρσιος· μισητός.

4.666 Ἀχλύι· σκοτίᾳ.

4.668 Ἀτυζόμενοι· φοβούμενοι. χέονται· σκοτίζονται.

4.670 Πικροτέρη· ἐστίν. πέφυρται· μέμικται.

4.671 Ὀλοῇ· ἐν. ὀδμῇ· ὀσμῇ.

4.673 Ἐπαΐγδην· συντόμως, ὁρμητικῶς.

4.674 Πίπτουσι· περιπίπτουσιν. διεκθορέειν· διεξελθεῖν καὶ ἀποφυγεῖν τὴν κακότητα.

4.675 Ἀλεωρή· ἀνάπαυσις.

4.676 Ἄλμασι· πηδήμασιν.

4.677 Τειρόμενοι· δαμαζόμενοι.

4.678 Φύσημα· πνοή.

4.680 Ἀκηδέες· ἄλυποι.

4.682 Στονόεσσαν· στενακτικήν. ἀϋτμήν· πνοήν.

4.684 Λωβήτορι· βλαπτικῷ, ἐπονειδίστῳ. πότμῳ· θανάτῳ.

4.685 Ὡς δ’· συμβαίνει· παραβολή.

4.686 Φροῦδον· κρυπτὸν, ἀφανῆ. ἐελδόμενοι· ἤως δόλον ἐλπίζοντες. ῥαῖσαι· φθεῖραι. ἀνιεῖσι· ἐνδίδωσιν, καταλείπωσι, ῥᾳθυμοῦσιν.

4.687 Ἐπί σφισιν· κατὰ τῶν πολιτῶν.

4.688 Φάρμαξαν· ἐμίαναν. ὀλέθριον· πῶς, ὀλεθρίως.

4.689 ᾽Οϊζύι· κακοπαθείᾳ. μοχθίζοντες· κακοπαθοῦντες.

4.690 ῞Υδατι· ἐν. στυγερόν· μισητόν. ἀεικέα· κακὸν, ἀπρεπῆ.

4.692 ᾽Αδευκέι· πικρῷ, ἀπρεπεῖ.

4.693 ῾Υποδμηθέντες· δεσμηθέντες.
